**αἰολικὸν δακτυλικὸν τετράμετρον ἀκατάληκτον**

HEPHAEST. 23. 18 sqq. (*scil.*) τὸ δὲ τετράμετρον (*scil.* δακτυλικὸν αἰολικόν) ἀκατάληκτόν ἐστι τοιοῦτον· (Sapph. 130. 1 sq. Voigt)

ἔρος δαῦτέ μ᾽ ὁ λυσιμελὴς δόνει
γλυκύπικρον ἀμάχανον ὄρπετον

(Sapph. 130. 3-4 Voigt)

Ἄτθι, σοὶ δ᾽ ἔμεθεν μὲν ἀπήχθετο
φροντίσδην, ἐπὶ δ᾽ Ἀνδρομέδαν πότη.

TRICH. 378. 26 sqq. τετράμετρον δὲ ἀκατάληκτον τὸ

ἴσον μοί τε φανέντα ἁμαρτάδος.

καὶ τοῦτο δὲ ἐπισημότατόν ἐστιν.

SCHOL. A in Hephaest. 130. 6 sqq. τὸ δὲ τετράμετρον (*scil.* δακτυλικόν) ἀκατάληκτον αἰολικὸν τοῦ σαπφικοῦ δακτύλῳ μεμειωμένον.

SCHOL. B in Hephaest. 274. 4 sqq. ὑφίστανται δὲ καὶ ἐν τούτῳ (*scil.* τῷ δακτυλικῷ αἰολικῷ) κατὰ ἀφαίρεσίν <τε καὶ πρόσθεσιν> δίμετρά τε καὶ τρίμετρα καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα (μονόμετρα γὰρ οὐκ ἔχει) καὶ ταῦτα καταληκτικά τε εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτα).

SCHOL. B in Hephaest. 274. 15 sqq. ἀκαταλήκτων δέ (*scil.* τῶν δακτυλικῶν αἰολικῶν τετραμέτρων)· (Sapph. 130. 1 sq. Voigt)

ἔρος δαῦτέ μ᾽ ὁ λυσιμελὴς δόνει,
γλυκύπικρον ἀμάχανον ὄρπετον·

(Sapph. 130. 3 sq. Voigt)

Ἄτθι, σοὶ δ᾽ ἔμεθεν μὲν ἀπήχθετο
φροντίσδην, ἐπὶ δ᾽ Ἀνδρομέδαν πότη. [*P.S.*]